λῶν οἱονεὶ πηγῶν (Προθ. Β΄. §. ά.) τὴν ἀρχὴν ἔχουσαν. Καὶ Κρίσιν αὐτὸ τοῦτο ἐσφαλμένην τε καὶ ἀδόκιμον, παρεκτροπὴν τε ἀπὸ τοῦ ἀληθοῦς καὶ προσήκοντος, καὶ ἐπὶ τὸ μὴ ἀληθὲς μηδὲ προσῆκον ἀπολίσθησιν.

# ΚΕΦ. ΤΡΙΤΟΝ.

## Περὶ Διαφόρων Βαθμῶν Πιθανολογίας, καὶ τῆς τούτων αὐτῶν Ἀνακρίσεως.

### §. σοϛ΄.

Δεῖ δὴ τὸ μὲν ἀσφαλὲς καὶ πιστὸν, ἐν ᾧ κατ' ἐνάργειαν ἐντελῆ ἀπαρασαλεύτως ἡμῶν ἵδρυται τὸ Φρονοῦν· (τοῦτο δὲ ἐστὶν, ἐφ' οἷς ἐν ἀσφαλεῖ ἐστὶν ἡ ψυχὴ τοῦ πράγματος περινοίᾳ) (§. σμγ΄.), ὡς ὅλον ὑποτιθέναι. Τὸν δὲ τοῦ Φρονοῦντος οἱονεὶ σκοτασμὸν, τοῦ μηδὲν τὸ παράπαν συνορᾷν δυναμένου, οὔτε μικρὸν οὔτε μέγα, περὶ ὃ σκοπεῖν πρόκειται· ταυτὸν εἰπεῖν τὴν παντελῆ ἄγνοιαν (§. σμβ΄.), ἴσα καὶ μηδὲν ἐκλογίζεσθαι. Ἃ δ' ἂν τουτωνὶ μεταξὺ τῶν ἀκροτήτων ἐγχωροίη, συντελοῦντα μέν πως εἰς ἀπαλλαγὴν τῆς τῷ μηδενὶ ἰσοδυναμούσης ἀγνοίας, ἐπιβολὴν δὲ τῆς τῷ ὅλῳ ἀναλογούσης βεβαίας γνώσεως, ὧν μέντοι καθ' ἑαυτὸ μηδὲν ἐπὶ τὸ ἀκριβὲς ταύτης ἐξίκοιτο ἂν, ἐκεῖνα δὴ πάντα, οἷον βαθμίδας, τῆς ἀπὸ τοῦ μηδενὸς ἐπὶ τὸ ἄκρον τεινούσης ἀνόδου ἡγεῖσθαι, ἢ ὡς μοίρας ὑπολαμβάνειν, ἐν αἷς τὸ ὁλοσχερὲς κατατέτμηται. Νοεῖν δὲ ταύτας τὰς κατὰ βαθμοὺς, ἢ μοίρας, οὕτω παρισταμένας πιθανολογίας, μὴ ἴσας ἀλλήλαις. Ἀλλ' ὡς μὲν ἐν μέτρῳ εἰπεῖν, τὰς μὲν μείζονας, τὰς δὲ ἐλάσσονας· ὡς δ' ἐν σταθμῷ, τὰς μὲν βαρυτέρας, τὰς δὲ κουφοτέρας. ὡς δ' ἐν δυνάμει, τὰς μὲν κρατιστέρας, τὰς δὲ ἀσθενεστέρας εἰς τὸ τὴν γνώμην κινῆσαι πρὸς συγκατάθεσιν.

§. σοζ΄. Τῶν οὖν πιθανῶς γνωματευομένων βαθμὶς νεάτη μὲν, καθ' ἣν μόλις τι πλέον εἰδέναι πάρεστι, τοῦ εἶναι οὐκ ἀδύνατον τὸ νοούμενον (§. σογ΄.). Ὑπάτη δὲ, καθ' ἣν βραχύ τι λείπεται, τοῦ εἰς ἐπιστήμης ἐλάσαι βεβαιοτάτης, καὶ πάντη ἀναμ-



φηρίστου, ἀκρότητα. Μέση δὲ ἡ τούτων ἑκατέρας ἐπίσης ἀπέχουσα. Τὰς δὲ μεταξὺ, τὸ μέτρον ἴσχειν εἰκὸς ἀνάλογον τῇ πρὸς τὰ ἄκρα ἐγγύτητι. Καὶ ὀρθῶς ἥπου τὸ εἰρημένον, ἔτι πιθανὰ δύο, ἐν λόγῳ εἰσὶν ἀντιπεπονθότι, τῆς ἑκατέρου πρὸς τὸ βέβαιον ἀποστάσεως. Εἰ γὰρ τὸ μὲν ἐκείνου ἀπολείποιτο ὡς τὰ τρία, τὸ δ' ὡς τὰ ἕξ, πιθανώτερον ἂν εἴη τοῦ δευτέρου τὸ πρῶτον κατὰ τὸ διπλάσιον. Ὀρθῶς δὲ κἀκεῖνο, ὅτι τὸ πιθανὸν καθ' ἑαυτὸ περισκοπούμενον ἐν λόγῳ ἐστὶ συνθέτῳ, τῷ ἐκ τοῦ ἀριθμοῦ, καὶ τῆς δυνάμεως τῶν πίστεων αἷς προστερεῖδεται. τὸ γὰρ ἐκ κρατιστέρων πιθανολογούμενον, φανερὸν ὡς τοῦ ἐξ ἰσαρίθμων μὲν, κουφοτέρων δὲ κατασκευαζομένου, ἀεὶ πιθανότερον (§. σοδ΄. σοϛ΄.).

§. σοη΄. Ἡ τοῦ κατὰ τὸν νέατον βαθμὸν ἀντίληψις πιθανοῦ (§. σοζ΄.), ἐπὶ τῷ ἁπλῶς δυνατὸν εἶναι (§. σογ΄.), καὶ ἀμυδροτάτην τινὰ τοῦ πράγματος εἰκασίαν παρέχεται. Τοιοῦτον τὸ ἐν τῷδε τῷ παντὶ συντάγματι, καὶ γῆν ἑτέραν εἶναί που, παρὰ ταύτην τὴν καθ' ἡμᾶς, οἰκουμένην. Τοιγαροῦν ἐπὶ τὰ ἥκιστα πιθανὰ ἀνακτέον πάντα τὰ τῆς ἀποφατικῆς Ἀμφιγνοίας (§. σμθ΄.) ποιητικὰ, τὰ μηδένα μηδετέρωθεν λόγον, εἰς τὸ θέσθαι ταῦτα, ἢ μὴ, προϊσχόμενα. οἷον ὅτι περιττάριθμος ἡ τῶν ἀστέρων πληθύς· ἢ ὅτι ἄρτιος. ὡσαύτως δὲ, καὶ τὰ ἀμφιγνοεῖν ἡμᾶς κατὰ θέσιν ἐπάγοντα (§. αὐτ.)· ἐφ' ὧν πάρεστι μὲν εἰκότας τινὰς λόγους λαβεῖν, ἑκατέρωθεν μέντοι ἰσοδυνάμους· τοῦ ἰσοδυνάμου καὶ ἀριθμῷ καὶ κράτει ἐκλογιζομένου, ὡς εἴρηται. (§. ἀνωτ.). Τῇ γὰρ τῶν λόγων παντελεῖ ἀπουσίᾳ, ἡ τῶν ἰσοδυναμούντων ἐξ ἀντιθέτου παρουσία, εἰς ἀντιῤῥοπίας γένεσιν ἴσον, ὡς κἀπὶ πλάστιγγος τῷ μηδενὶ ἴσα δύναται τὰ ἰσοβαρῆ σηκώματα. Οἷον δὴ προβληθέντος, τίνα ἄρα τὰ ὧδέ που συγκεκαλυμμένα τῶν γραμμάτων ἐστὶν, ὧν φωνήεσσα μὲν ἡ φύσις, δυαδικὸν δὲ τὸ εἶδος, ἰσόχρονος δὲ ἡ δύναμις; Ἀμφιγνοεῖν ἀνάγκη πότερα, τὰ βραχέα ταῦτα, ἢ τὰ μακρά; τὰ γὰρ προτεθέντα τῶν γνωρισμάτων ἰσάριθμά τε ἐπ' ἀμφοῖν, καὶ ἰσοστάθμια ἐπ' ἀκριβές. Οὐδεὶς οὖν τῶν τοιούτων οὐδὲν δοξάσεται ὀρθῶς ποιῶν. Αἱ γὰρ τοιαίδε δοξασίαι ἄντικρυς ἀποκληρωτικαὶ, ἵνα μὴ εἴπω ἄλογοι.

§. σοθ΄. Ἡ ὑπάτη ῥηθεῖσα (§. σοζ΄.) πιθανότης, ὅσον οὔχὶ καὶ βεβαιότης ἀκριβής ἐστι, παρ' ἔλλειψιν λόγου τινὸς, μικρὰν ἔτι τὴν ὑπόνοιαν περιλείποντος. τοιάδε τις ἂν τῶν στρατιωτῶν ἐγγένοι-